ἠδ' ὑγιᾶ Δακίης πανυπέρτατον Ἡγεμονῆα,
σήν θ' ἱερὴν τελέειν τήνδε Τελεσφορίην
πλείςȣς ἐς λυκάβαντας ἀπήμονα· συν καὶ Ἄκοιτιν
φαιδιμόεσσαν ἑὴν, καὶ Τέκε' ἀγλαά τε.
ἔξοχα δ' ȣ̓ρανίωνι Δικασπόλῳ εὔχεο μάρτυς
τόνδε κλυτὸν ΣΟΥ'ΤΖΗΝ ἔξοχον Ἡγεμόνων
σκῆπτρα παναιγλήεντα φορεῦντα μὲν ἡγεμονεύειν
δηρὸν ἐν ἀγλαΐῃ ξυν τ' ἀγανοφροσύνῃ,
ἰθύνειν δὲ δίκας καὶ ἀλεξικάκȣς τε θέμιςας,
ἔρκος τ' ἀρχομένοις ἄρκιον οἷσιν ἔμεν.
ὡς δ' ἀγαθαῖς τὸ πάρος Δακέων διέπων φρεσὶ γαῖαν
αἰῶν' ἀτρεκέως χρύσεον ἔρξεν ὄγε,
τὼς τήνδε πτολέμȣ δὴν τειρομένην κακότητι
νῦν ἐρατῇ θεῖναι τ' ὄλβιον εὐνομίῃ,
καὶ τῆςδ' ἐννεάετας πολυτλήμονας εὐμενίῃφι
ἐμπλῆσαι τ' ἐλέȣ χ' ἡσυχίȣ βιότȣ.
κ' συγερὴ προπάροιθε τυραννίς δ' ἐςυφέλιξε
πάντ' ἐπανορθώσαιθ' ἠπίῳ ἡγεσίῃ.
ὡς κλέος ἔνθεν ἄρηται ἀγήραον, ȣ̓ρανόμηκες,
κύδεϊ τ' ἐμβιόῃ κ' ὀλβιοδαιμονίῃ

ὁ προσφωνεῖ

„ Κατὰ τὸ αψιβ. ἔτος, τῆς δὲ θεοςηρίκτȣ κ' εὐτυχȣ̃ς β.
αὐτȣ̃ Ἡγεμονίας ά. τῇ κζ. Ἰȣλίȣ ἐν τῇ μνήμῃ τȣ̃
ἁγίȣ μεγαλομάρτυρος κ' ἰαματικȣ̃ Παντελεήμονος.